ματεῦσιν λέγων [7]Οὐκέτι προστεθήσεται διδόναι ἄχυρον τῷ λαῷ 7
εἰς τὴν πλινθουργίαν καθάπερ ἐχθὲς καὶ τρίτην ἡμέραν· αὐτοὶ πο-
ρευέσθωσαν καὶ συναγαγέτωσαν ἑαυτοῖς ἄχυρα. [8]καὶ τὴν σύντα- 8
ξιν τῆς πλινθείας, ἧς αὐτοὶ ποιοῦσιν καθ᾽ ἑκάστην ἡμέραν, ἐπιβα-
λεῖς αὐτοῖς, οὐκ ἀφελεῖς οὐδέν· σχολάζουσιν γάρ· διὰ τοῦτο κε-
κράγασιν λέγοντες Πορευθῶμεν καὶ θύσωμεν τῷ θεῷ ἡμῶν. [9]βα- 9
ρυνέσθω τὰ ἔργα τῶν ἀνθρώπων τούτων, καὶ μεριμνάτωσαν ταῦ-
τα καὶ μὴ μεριμνάτωσαν ἐν λόγοις κενοῖς. [10]κατέσπευδον δὲ αὐ- 10
τοὺς οἱ ἐργοδιῶκται καὶ οἱ γραμματεῖς καὶ ἔλεγον πρὸς τὸν λαὸν
λέγοντες Τάδε λέγει Φαραω Οὐκέτι δίδωμι ὑμῖν ἄχυρα· [11]αὐτοὶ 11
ὑμεῖς πορευόμενοι συλλέγετε ἑαυτοῖς ἄχυρα ὅθεν ἐὰν εὕρητε, οὐ
γὰρ ἀφαιρεῖται ἀπὸ τῆς συντάξεως ὑμῶν οὐθέν. [12]καὶ διεσπάρη ὁ 12
λαὸς ἐν ὅλῃ Αἰγύπτῳ συναγαγεῖν καλάμην εἰς ἄχυρα· [13]οἱ δὲ ἐργο- 13
διῶκται κατέσπευδον αὐτοὺς λέγοντες Συντελεῖτε τὰ ἔργα τὰ καθή-
κοντα καθ᾽ ἡμέραν καθάπερ καὶ ὅτε τὸ ἄχυρον ἐδίδοτο ὑμῖν. [14]καὶ 14
ἐμαστιγώθησαν οἱ γραμματεῖς τοῦ γένους τῶν υἱῶν Ισραηλ οἱ
κατασταθέντες ἐπ᾽ αὐτοὺς ὑπὸ τῶν ἐπιστατῶν τοῦ Φαραω λέγον-
τες Διὰ τί οὐ συνετελέσατε τὰς συντάξεις ὑμῶν τῆς πλινθείας,
καθάπερ ἐχθὲς καὶ τρίτην ἡμέραν, καὶ τὸ τῆς σήμερον; [15]εἰσελ- 15
θόντες δὲ οἱ γραμματεῖς τῶν υἱῶν Ισραηλ κατεβόησαν πρὸς Φα-
ραω λέγοντες Ἵνα τί οὕτως ποιεῖς τοῖς σοῖς οἰκέταις; [16]ἄχυρον 16
οὐ δίδοται τοῖς οἰκέταις σου, καὶ τὴν πλίνθον ἡμῖν λέγουσιν ποι-
εῖν, καὶ ἰδοὺ οἱ παῖδές σου μεμαστίγωνται· ἀδικήσεις οὖν τὸν λαόν
σου. [17]καὶ εἶπεν αὐτοῖς Σχολάζετε, σχολασταί ἐστε· διὰ τοῦτο λέ- 17
γετε Πορευθῶμεν θύσωμεν τῷ θεῷ ἡμῶν. [18]νῦν οὖν πορευθέντες 18
ἐργάζεσθε· τὸ γὰρ ἄχυρον οὐ δοθήσεται ὑμῖν, καὶ τὴν σύνταξιν τῆς
πλινθείας ἀποδώσετε. [19]ἑώρων δὲ οἱ γραμματεῖς τῶν υἱῶν Ισραηλ 19
ἑαυτοὺς ἐν κακοῖς λέγοντες Οὐκ ἀπολείψετε τῆς πλινθείας τὸ καθή-
κον τῇ ἡμέρᾳ. [20]συνήντησαν δὲ Μωυσῇ καὶ Ααρων ἐρχομένοις εἰς 20
συνάντησιν αὐτοῖς ἐκπορευομένων αὐτῶν ἀπὸ Φαραω [21]καὶ εἶπαν 21
αὐτοῖς Ἴδοι ὁ θεὸς ὑμᾶς καὶ κρίναι, ὅτι ἐβδελύξατε τὴν ὀσμὴν
ἡμῶν ἐναντίον Φαραω καὶ ἐναντίον τῶν θεραπόντων αὐτοῦ δοῦ-
ναι ῥομφαίαν εἰς τὰς χεῖρας αὐτοῦ ἀποκτεῖναι ἡμᾶς. [22]ἐπέστρεψεν 22
δὲ Μωυσῆς πρὸς κύριον καὶ εἶπεν Κύριε, διὰ τί ἐκάκωσας τὸν
λαὸν τοῦτον; καὶ ἵνα τί ἀπέσταλκάς με; [23]καὶ ἀφ᾽ οὗ πεπόρευμαι 23
πρὸς Φαραω λαλῆσαι ἐπὶ τῷ σῷ ὀνόματι, ἐκάκωσεν τὸν λαὸν τοῦ-
τον, καὶ οὐκ ἐρρύσω τὸν λαόν σου. [1]καὶ εἶπεν κύριος πρὸς Μωυ- 6

7 προστεθησεσθαι(pro -θε) A | ημεραν] + και το της σημερον A: cf. 14 || 8 πλινθειας] -θουργιας A | πορευθωμεν] εγερθωμεν B† || 9 μεριμνασθωσαν bis A† || 11 υμεις > B*† | αφαιρειτε BA || 12 ολη] + γη B (in *O* sub ※) || 17 θυσωμεν] pr. και A || 18 πορευθεντες] απελθοντες A || 22 κυριε δια τι] δεομαι κυρ. τι B† || 23 λαλησαι] + αυτω A†

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/145 UNIVERSITÄT LEIPZIG